# The Law ‘Code’ of Gortyn

Mid-Fifth Century BCE

The text provided below is *Inscriptiones Creticae* IV. 72 after Gagarin and Perlman 2016.

## The Ownership of Persons

Col. I.

θιοί.

ὄς κ’ ἐλευθέρο̄ι ἒ̄ δόλο̄ι μέλλε̄ι ἀν-

πιμο̄λε̄̀ν, πρὸ δίκας με̄̀ ἄγεν. αἰ δ-

έ κ’ ἄγε̄ι, καταδικακσάτο̄ το̃̄ ἐλευθέρ-

ο̄ δέκα στατε̄ρανς, το̃̄ δόλο̄ πέντ-

ε ὄ̄τι ἄγει καὶ δικακσάτο̄ λαγάσαι

ἐν ταῖς τρισὶ ἀμέραις. ạἰ [δέ] κα

μ̣ε̄̀ [λαγ]άσει, καταδικαδδέτο̄ το̃̄ μὲν

ἐλευθέρο̄ στατε̄ρα, το̃̄ δόλο̄ [δα]ρκν-

ὰν τα̣̃ς ἀμέρας ϝεκάστας, πρίν κα λα-

γάσει· το̃̄ δὲ κρόνο̄ τὸν δι[κ]αστ-

ὰν ὀμ̣νύντα κρίνεν. ⊂*palmula*⊃ αἰ δ’ ἀννίοιτο

με̄̀ ἄγεν, τὸν δικαστὰν ὀμνύντ-

α κρ[ί]νεν αἰ με̄̀ ἀποπο̄νίοι μαῖτυς.

αἰ δέ κα μο̄λε̃ι ὁ μὲν ἐλεύθερ̣ον

ὁ δ[ὲ δ]ο̃̄λον, κάρτονανς ἔ̄με̄ν

[ὄτερο]ί κ’ ἐλεύθερον ἀποπο̄νίο̄ν-

τι. αἰ δέ κ’ ἀνπὶ δόλο̄ι μο̄λίο̄ντι

πο̄νίοντες ϝὸν ϝεκάτερος ἔ̄μ-

ε̄ν, αἰ μέν κα μαῖτυς ἀποπο̄νε̄͂ι, κ-
ατὰ τὸν μαίτυρα δικάδδεν, αἰ
δέ κ’ ἒ̄ ἀνποτέροις ἀποπο̄νίο̄ντι
ἒ̄ με̄δατέρο̄ι, τὸν δικαστὰν ὀ-
μνύντα κρίνεν. ε̄̓͂ δέ κα νικαθε̄͂ι ὀ
ἔκο̄ν, τὸμ μὲν ἐλεύθερον λαγ-
άσαι τᾶν πέ[ν]τ’ ἀμερᾶν, τὸν δὲ δο̄͂-
λο[ν] ἐς κε̄͂ρανς ἀποδόμε̄ν. αἰ δέ
κα με̄̀ λαγάσει ἒ̄ με̄̀ ἀποδο̄͂ι, δικακ-
σάτο̄ νικε̄͂ν το̄͂ μὲν ἐλευθέρο̄
πεντέ̄κοντα στατε̄͂ρανς καὶ σ-
τατε̄͂ρα τᾶς ἀμέρας ϝεκάστ-
ας, πρίν κα λαγάσει, το̄͂ δὲ δόλο̄
δέκα στατε̄͂ρανς καὶ δαρκνὰν
τᾶς ἀμέρας ϝεκάστας, πρίν κ’ ἀ-
ποδο̄͂ι ἐς κε̄͂ρανς. ε̄̓͂ δέ κα καταδι-
κάκσει ὀ δικαστάς, ἐνιαυτο̄͂ι π-
ράδδεθθαι τὰ τρίτρα ἒ̄ μεῖον,
πλίον δὲ με̄́· το̄͂ δὲ κρόνο̄ τὸν δι-
καστὰν ὀμνύντα κρίνεν. αἰ δέ
κα ναεύε̄ι ὀ δο̄͂λος ο̄̓͂ κα νικαθε̄͂-
ι, καλίο̄ν ἀντὶ μαιτύρο̄ν δυο̄͂ν δ-
ρομέο̄ν ἐλευθέρο̄ν ἀποδεικσάτ-
ο̄ ἐπὶ το̄͂ι ναο̄͂ι ὄπε̄ κα ναεύε̄ι ἒ̄ α-
ὐτὸς ἒ̄ ἄλος πρὸ τούτο̄· αἰ δέ
κα με̄̀ καλε̄͂ι ἒ̄ με̄̀ δείκσει, κατισ-
[τάτ]ο̄ τὰ ἐγ[ρα]μένα. αἰ δέ κα με̄δ’

αὐτὸν ἀποδδôι ἐν τôι ἐνιαυτôι,
τὰνς ἀπλόονς τ[ι]μὰνς ἐπικατ-
αστασεῖ. *vac.* αἰ δέ κ’ ἀποθάνε̄ι μ-
ο̄λιομένας τᾶδ δί[κ]α̣ς, τὰν ἀπλ-
όον τιμὰν κατ<α>στασεῖ. *vac.* αἰ δ-
έ κα κοσ̣[μ]ίο̄ν ἄγε̄ι ἒ̄ κοσμίοντο-
ς ἄλλος, ἒ̄ κ’ ἀποστᾶι, μο̄λέν, καἴ κ-
α νικαθε̂ι, κατιστάμεν ἀπ[ὸ ἇ]ς
[ἀμέρα]ς ἄγαγε τὰ ἐγραμένα. *vac.*
[τ]ὸ̣ν δὲ νενικαμένο̣ν κα[ὶ τὸν κα]-
τακείμενον ἄγοντι ἄπατον
ἔ̄με̄ν.

**Punishments for Sexual Misconduct**

Col. II.

*vac.* αἴ κα τὸν ἐλεύθερον ἒ̄
τὰν ἐλευθέραν κάρτει οἴπε̄ι, ἐκα-
τὸν στατε̂ρανς καταστασεῖ· α-
ἰ δέ κ’ ἀπεταίρο̄, δέκα· αἰ δέ κ’ ὁ δôλο-
ς τὸν ἐλεύθερον ἒ̄ τὰν ἐλευθέρα-
ν, διπλεῖ καταστασεῖ· αἰ δέ κ’ ἐλε-
ύθερος ϝοικέα ἒ̄ ϝοικέαν, πέντε
δαρκνάνς· αἰ δέ κα ϝοικεὺς ϝοικέα
ἒ̄ ϝοικέαν, π[έν]τε στατε̂ρανς. *vac.*
ἐνδοθιδίαν δο̂λαν αἰ κάρτει δαμ-
άσαιτο, δύο στατε̂ρανς κατασ-

τασεῖ· αἰ δέ κα δεδαμ̣ν[α]μέναν, πε-
δ’ ἀμέραν̣, [ὀ]δελόν, αἰ δέ κ’ ἐν νυτ-
τί, δύ’ ὀδελόνς· ὀρκιο̄τέραν δ’ ε̄̓́-
με̄ν τὰν δο̄́λαν.

**Adultery**

Col. II.

*vac*. αἴ κα τὰν ἐ-
λευθέραν ἐπιπε̄ρε̄͂ται οἴπεν ἀκε-
ύοντος καδεστᾶ, δέκα στατε̄͂-
ρανς καταστασεῖ αἰ ἀποπο̄νίο-
ι μαῖτυς. *vac*. αἴ κα τὰν ἐλευθέραν
μοικίο̄ν αἰλεθε̄͂ι ἐν πατρὸς ε̄̓͂ ἐν ἀ-
δελπιο̄͂ ε̄̓͂ ἐν το̄͂ ἀνδρός, ἐκατὸν
στατε̄͂ρανς καταστασεῖ· αἰ δέ κ’ ἐ-
ν ἄλο̄, πεντε̄́κοντα· αἰ δέ κα τὰν
το̄͂ ἀπεταίρο̄, δέκα· αἰ δέ κ’ ὀ δο̄͂λος τὰ-
ν ἐλευθέραν, διπλεῖ καταστασε-
ῖ· *vac*. αἰ δέ κα δο̄͂λος δο̄́λο̄, πέν-
τε. προϝειπάτο̄ δὲ ἀντὶ μαιτ-
ύρο̄ν τριο̄͂ν τοῖς καδεσταῖ-
ς το̄͂ ἐναιλεθέντος ἀλλύεθ̣-
θαι ἐν ταῖς πέντ’ ἀμέραις· *vac*.
το̄͂ δὲ δο̄́λο̄ το̄͂ι πάσται ἀντὶ
μαιτύρο̄ν δυο̄͂ν. *vac*. αἰ δέ κα μ-
ε̄̀ ἀλλύσεται, ἐπὶ τοῖς ἐλόν-

σι ἔ̄με̄ν κρε̄̂θθαι ὄπαι κα λε-
ίο̄ντι. *vac*. αἰ δέ κα πο̄νε̄̂ι δολό̄-
σαθθαι, ὀμόσαι τὸν ἐλό̄-
ντα τō̂ πεντε̄κονταστατέ̄-
ρō καὶ πλίονος πέντον αὐ-
τὸν ϝὶν αὐτō̂ι ϝέκαστον ἐπ-
αριόμενον, τō̂ δ’ ἀπεταίρō
τρίτον α̣ὐ̣τὸν, τō̂ δὲ ϝοικέ-
ος τὸν πάσταν ἄτερον αὐτ-
ὸν μοικίοντ’ ἐλέν, δολό̄σαθ-
θαι δὲ μέ̄.

**Divorce**

Col. II.

*vac*. αἴ κ’ ἀνὲ̄ρ [κ]α̣ὶ γυ̣-
νὰ διακρ[ί]νο̄ν[τ]αι, τὰ ϝὰ α-
ὐτᾶς ἔκεν, ἄτι ἔκονσ’ ε̄̂ιε π-
ὰρ τὸν ἄνδρα, καὶ τō̂ καρπō̂ τ-
ὰννε̄μίναν, αἴ κ’ ε̄̂ι ἐς τō̂ν ϝō̂-
ν αὐτᾶς κρε̄μάτο̄ν, κō̂τι
κ̣’ ἐνυπά̣νει τὰν [ε̄̂μίνα]ν ἄτι
κ’ ε̄̂ι, καὶ πέντε στατε̄̂ρανς, αἴ κ’ ὁ ἀ-
νὲ̄ρ αἴτιος ε̄̂ι τᾶς κ̣ε̣̄[ρ]εύσι-
ος· α[ἰ] δ̣ὲ πο̄νίοι ὁ ἀ̣ν̣ὲ̄ρ [αἴτι]-
[ος μὲ̄ ἔ̄]με̄ν, τὸν δικαστὰν
III. 1 ὀμνύντα κρίνεν. αἰ δέ τι ἄλλ-
ο πέροι τō̂ ἀνδρός, πέντε στ-

ατε̄̃ρανς καταστασεῖ κὄτι
κα πέρε̄ι αὐτόν, κὄτι κα παρ-
έλε̄ι ἀποδότο̄ αὐτόν. ὂν δέ κ’
ἐκσαννε̄́σεται δικάκσαι τ-
ὰν γυναῖκ’ ἀπομόσαι τὰν Ἄρ-
τεμιν πὰρ Ἀμυκλαῖον πὰρ τὰν
Τοκσίαν. ὄτι δέ τίς κ’ ἀπομο-
σάνσαι παρέλε̄ι, πέντε στατ-
ε̄̃ρανς καταστασεῖ καὶ τὸ κρ-
έος αὐτόν. *vac.* αἰ δέ κ’ ἀλλόττρι-
ος συνεσάδδε̄ι, δέκα στ[ατ]ε̄̃-
ρανς καταστασεῖ, το̄̃ δὲ κρε̄́-
ιος διπλεῖ ὄτι κ’ ὀ δικαστὰς
ὀμόσει συνεσσάκσαι. *vac.*

**Disposition of Property upon the Death of a Spouse**

Col. III.

αἰ ἀνε̄̀ρ ἀποθάνοι τέκνα κατ-
αλιπο̄́ν, αἴ κα λε̄̃ι ἀ γυνά, τὰ ϝὰ
αὐτᾶς ἔκονσαν ὀπυίεθθα-
ι κἄτι κ’ ὀ ἀνε̄̀δ δο̄̃ι κατὰ τὰ ἐγ-
ραμμένα ἀντὶ μαιτύρο̄ν τρ-
ιο̄̃ν δρομέο̄ν ἐλευθέρο̄ν· αἰ
δέ τι το̄̃ν τέκνο̄ν πέροι, ἔνδι-
κον ε̄̓́με̄ν. *vac.* αἰ δέ κα ἄτεκνον
καταλίπε̄ι, τά τε ϝὰ αὐτᾶς ἔκε-
ν κὄτ[ι] κ’ ἐ̣γ̣[υ]π̣ά̣γ̣ε̣ι [τ]ὰ̣ν ε̄̓μίν-

αν κα̣ὶ [τ]ο͂ καρπ[ο͂] τ̣ο͂ ἔνδ[ο]θεν π-

εδὰ το͂ν ἐπιβαλλόντ[ο̄ν] μοῖρα-

ν λακὲ̣ν καἴ τί κ' ὀ ἀνε̄̀δ δο͂ι ἆι ἔγ-

ρατται· αἰ δέ τι ἄλλο πέροι, ἔν-

δικον ε̄̓́με̄ν. *vac.* αἰ δὲ γυνὰ ἄτεκ-

νος ἀποθάνοι, τά τε ϝὰ

αὐτᾶς τοῖς ἐπιβάλλονσι ἀπ-

οδόμε̄ν κο͂̓τι ἐνύπανε τὰν ε̄̓-

μίναν καὶ το͂ καρπο͂, αἴ κ' ε͂̓ι ἐς

το͂ν ϝο͂ν αὐτᾶς, τὰν ε̄̓μίνα-

ν. κόμιστρα αἴ κα λε͂ι δόμε̄ν

ἀνε̄̀ρ ε̄̓ γυνά, ε̄̓ ϝε͂μα ε̄̓ δυόδεκ-

α στατε͂ρανς ε̄̓ δυόδεκα στατ-

έρο̄ν κρέος, πλίον δὲ με̄́. *vac.* αἴ κ-

α ϝοικέος ϝοικέα κριθε͂ι δο̄ο͂

ε̄̓ ἀποθανόντος, τὰ ϝὰ αὐτᾶ-

ς ἔκεν· ἄλλο δ' αἴ τι πέροι, ἔνδ-

ικον ε̄̓́με̄ν.

**Children born to unmarried Women**

Col. III.

*vac.* αἰ τέκοι γυνὰ κ-

ε̄[ρ]ε[ύο]νσα̣, ἐπελεῦσαι το͂ι ἀ-

νδρὶ ἐπὶ στέγαν ἀντὶ μαιτ-

ύρο̄ν τριο͂ν. αἰ δὲ με̄̀ δέκσαι-

το, ἐπὶ τᾶι ματρὶ ε̄̓́με̄ν τὸ τέκ-

νον ε̄̓ τράπεν ε̄̓ ἀποθέμε̄ν· ὀρκ-

ιο̄τέροδ δ' ἔ̄με̄ν τὸς καδεστ-
ὰνς καὶ τὸς μαίτυρανς, αἰ
ἐπέ̄λευσαν. *vac*. αἰ δὲ ϝοικέα τέ-
κοι κε̄ρεύονσα, ἐπελεῦσαι
τō̂ι πάσται τō̂ ἀνδρός, ὂ̄ς ὄ̄-
πυιε, ἀντὶ μαιτύρο̄ν δ̣[υ]ō̂ν.
IV. αἰ δέ κα μὲ̄ δέκσεται, ἐπὶ τō̂ι
πάσται ἔ̄με̄ν τὸ τέκνον τō̂ι τ-
ᾶς ϝοικέας. αἰ δὲ τō̂ι αὐτō̂ι αὖ-
τιν ὀπυίοιτο πρὸ τō̂ ἐνιαυτ-
ō̂, τὸ παιδίον ἐπὶ τō̂ι πάσται
ἔ̄με̄ν τō̂ι τō̂ ϝοικέος. κὄ̄ρκιό-
τερον ἔ̄με̄ν τὸν ἐπελεύσαν-
τα καὶ τὸς μαίτυρανς. *vac*. γ-
υνὰ κε̄ρεύονσ' αἰ ἀποβάλοι
παιδίον πρὶν ἐπελεῦσαι κατ̣-
ὰ τὰ ἐγραμμένα, ἐλευθέρο̄ μ-
ὲν καταστασεῖ πεντέ̄κοντα
στατε̂̄ρανς, δό̄λο̄ πέντε καὶ ϝ-
ίκατι, αἴ κα νικαθε̂̄ι. ὂ̂̄ι δέ κα μ-
ὲ̄ 'ί[ε̄] τ̣ις 'τέγα ὄπυι ἐπελευσε-
ῖ, ἒ̂̄ αὐτὸν μὲ̄ ὀρε̂̄ι, αἰ {αι} ἀποθ-
είε̄ τὸ παιδίον, ἄπατον ἔ̄με̄ν.
*vac*. αἰ κύσαιτο καὶ τέκοι ϝοικ-
έα μὲ̄ ὀπυιομένα, ἐπὶ τō̂ι τō̂
πατρὸς πάσται ἔ̄με̄ν τὸ τ-
έκνον· αἰ δ' ὀ πατὲ̄ρ μὲ̄ δόοι, ἐ-

πὶ τοῖς τō̃ν ἀδελπιō̃ν πάσ-
ταις ἔ̄με̄ν.

**Distribution of an Estate when at least one Son survives**

Col. IV.

*vac*. τὸν πατέρα τō̃ν
τέκνōν καὶ τō̃ν κρε̄μάτōν κ-
αρτερὸν ἔ̄με̄ν τᾶδ δαίσιος
καὶ τὰν ματέρα τō̃ν ϝō̃ν αὐ-
τᾶς κρε̄μάτōν. ᾶ̓ς κα δōōντι,
με̄̀ ἐπάνανκον ἔ̄με̄ν δατε̄̃-
θθαι· αἰ δέ τις ἀταθείε̄, ἀποδ-
άτταθθαι τō̃ι ἀταμένōι ᾶ̓-
ι ἔγρατται. ε̄̓̃ δέ κ' ἀποθάνε̄ι τις,
'τέγανς μὲν τὰνς ἐν πόλι κἄ-
τι κ' ἐν ταῖς 'τέγαις ἐνε̄̃ι αἶ-
ς κα με̄̀ ϝοικεὺς ἐνϝοικε̄̃ι ἐπ-
ὶ κόραι ϝοικίōν καὶ τὰ πρόβατα κα-
ὶ καρταί̣ποδα ἅ κα με̄̀ ϝοικέος ε̄̃ι,
ἐπὶ τοῖς υἱάσι ἔ̄με̄ν, τὰ δ' ἄλ-
λα κρε̄́ματα πάντα δατε̄̃θθα-
ι καλō̃ς, καὶ λανκάνεν τὸς μ-
ὲν υἱύνς, ὀπόττοι κ' ἴōντι, δύ-
ο μοίρανς ϝέκαστον, τὰδ δ-
ὲ θυγατέρανς, ὀπότται κ' ἴōν-
τι, μίαν μοῖραν ϝεκάσταν. δ̣-
ατε̄̃θ[θ]αι δὲ καὶ τὰ ματρō̃ια, ε̄̓̃

κ’ ἀποθά̣[νε̄]ι, ἆιπερ τὰ [πατρο͂]ι’
ἔγ̣[ρατ]ται. αἰ δὲ κρε̄́ματα μὲ̄ εἴ-
ε̄, στέγα δέ, λακὲν τὰθ θ[υ]γατέ-
ρας ἆι ἔγρατται.

**Gifts made to Daughters**

Col. IV.

*vac.* αἰ δέ κα λε̄͂-
ι ὁ πατὲ̄ρ δο̄ὸς ἰὸ̄ν δόμε̄ν τᾶ-
ι ὀπυιομέναι, δότο̄ κατὰ τ-
ὰ ἐγραμμένα, πλίονα δὲ με̄́. *vac.*
ὀτείαι δὲ πρόθθ’ ἔδο̄κε ἒ̄ ἐπέσ-
πενσε, ταῦτ’ ἔκεν, ἄλλα δὲ μὲ̄
ἔτι το̣͂ν̣ π[α]τρο̄́ι[ο̄]ν [κ]ρ̣έ̄[ματ’]
ἀπολαν[κά]νεν. γυνὰ ὀ[τ]εία κ-
ρε̄́ματα μὲ̄ ἔκει ἒ̄ [πα]τρὸδ δό-
ντος ἒ̄ ἀ̣[δ]ελπιο͂ ἒ̄ ἐπισπέν-
σαντος ἒ̄ ἀπολα[κ]όνσα ἆ-
ι ὄκ’ ὁ Αἰθ[α]λεὺς ’ταρτὸς ἐκόσ-
μιον οἰ σὺν Κύ[λ]λ̣ο̄ι, ταύτ-
ας μὲν ἀ̣π̣ολανκάνεν, ταῖ-
δ δὲ πρόθθα μὲ̄ ἔ[ν]δικον ἔ̄μ-
ε̄ν.

**Distribution of an Estate without surviving Children**

Col. V.

*vac.* ε̄̔͂ κ᾽ ἀποθάνε̄ι ἀνε̄̀ρ ε̄̔̀ γυν-
ά, αἰ μέν κ᾽ ε̄̓͂ι τέκ̣ν̣α ε̄̔̀ ἐς τέ-
κνο̄ν τέκν̣α̣ ε̄̔̀ ἐς τούτο̄ν τέ-
κνα, τούτος ἔ̄κε[ν] τὰ κρε̄́μα-
τα. ⊂*palmula*⊃ αἰ δέ κα̣ με̄́τις ε̄̓͂ι τούτο̄-
ν, ἀ⟦α⟧δελπιοὶ δὲ το̄͂ ἀποθανόν-
τος κε̄̓κς ἀδε[λ]πιο̄͂ν τέκν-
α ε̄̔̀ ἐς τούτο̄ν τέκνα, τούτ-
ος ἔ̄κεν τὰ κρε̄́ματα. ⊂*palmula*⊃ αἰ δέ κα
με̄́τις ε̄̓͂ι τούτο̄ν, ἀδευπιαὶ δ-
ὲ το̄͂ ἀποθανόντος κε̄̓ς ταυτ-
ᾶν τέκνα ε̄̔̀ ἐς το̄͂ν τέκνο̄ν τέ-
κνα, τούτος ἔ̄κεν τὰ κρε̄́μα-
τα. ⊂*palmula*⊃ αἰ δέ κα με̄́τις ε̄̓ι τούτο̄ν,
οἶς κ᾽ ἐπιβάλλε̄ι ὄπο̄ κ᾽ ε̄̓ι τὰ κρ-
ε̄́ματα̣, τούτος ἀναιλε̄͂θθα-
ι. ⊂*palmula*⊃ αἰ δὲ με̄̀ εἶεν ἐπιβάλλοντε-
ς, τᾶς ϝοικίας οἵτινές κ᾽
ἴο̄ντι ὁ κλᾶρος, τούτονς ἔ-
κεν τὰ κρε̄́ματα. *vac.* αἰ δέ κ᾽ οἰ
ἐπιβάλλοντες οἰ μὲν λεί-
ο̄ντι δατε̄͂θθαι τὰ κρε̄́ματ-
α, οἰ δὲ με̄́, δικάκσαι τὸν δι-
καστὰν ἐπὶ τοῖλ λείονσι δ-

ατε̄͂θθαι ἔ̄με̄ν τὰ κρε̄́ματα π-
άντα πρίν κα δάττονται. *vac.*
αἰ δέ κα δικάκσαντος τô δ-
ικαστᾶ κάρτει ἐνσείε̄ι ἒ̄ ἄ-
γε̄ι ἒ̄ πέρε̄ι, δέκα στατε̄͂ραν-
ς καταστασεῖ καὶ τô κρε̄́ι-
ος διπλεῖ. *vac.* τνατôν δὲ καὶ καρ-
πô καὶ ϝε̄́μας κἀνπιδε̄́μας κ-
ἐ̄πιπολαίο̄ν κρε̄μάτο̄ν αἴ κα μ-
ὲ̄ λείο̄ντι δατε̣̄́θ̣[θαι, τὸ]ν̣ δ̣-
[ικαστ]ὰν ὀμνύντα κρῖνα-
ι πορτὶ τὰ μο̄λιόμενα. *vac.* [α]ἰ [δ]-
έ κα κρε̄́ματα δατιόμενοι
μὲ̄ συνγιγνṓσκο̄ντι ἀν-
πὶ τὰν δαῖσιν, ὀνε̄͂ν τὰ κρε̄́μ-
ατα· κὄ̄ς κα πλεῖστον διδ-
ôι ἀποδόμενοι τᾶν τιμᾶν
δια[λ]ακόντο̄ν τὰν ἐπαβο-
λὰν ϝέκαστος. ⊂*palmula*⊃ δατιομέ-
νοιδ δὲ κρε̄́ματα μαίτυρα-
νς παρε̄́με̄ν δρομέανς ἐλε-
υθέρονς τρίινς ἒ̄ πλίανς.
VI. 1 θυγατρὶ ἒ̄ διδôι, κατὰ τὰ αὐτ-
ά.

**Misuse of Another's Property**

Col. VI.

*vac.* ἆς κ' ὁ πατὲδ δόει, τôν τô π-
ατρὸς κρεμάτōν πὰρ υἱέος
μὲ ὀνêθθαι μεδὲ καταθίθ-
εθθαι· ἄτι δέ κ' αὐτὸς πάσετ-
αι ễ ἀπολάκει ἀποδιδόθθō,
αἴ κα λêι. μεδὲ τὸν πατέρα τὰ τô-
ν τέκνōν ἄτι κ' αὐτοὶ πάσον-
ται ễ ἀπολάκōντι. ⊂*palmula*⊃ μεδὲ τὰ τ-
ᾶς γυναικὸς τὸν ἄνδρα ἀπο-
δόθαι μεδ' ἐπισπένσαι, μεδ'
υἱὺν τὰ τᾶς ματρός. *vac.* αἰ δ-
έ τις πρίαιτο ễ καταθεῖτο ễ ἐ-
πισπένσαιτο, ἀλλâι δ' ἔγρατ-
[τα]ι, ἆι τάδε τὰ γράμματα ἔγ-
[ρ]α[τται, τὰ] μ[ὲ]ν
κρέματα ἐπὶ τâι ματρὶ ἔμ-
εν κ' ἐπὶ τâι γυναικί, ὁ δ' ἀπο-
δόμενος ễ καταθὲνς ễ ἐπι-
σπένσανς τôι πριαμένōι
ễ καταθεμένōι ễ ἐπισπεν-
σαμένōι διπλεῖ καταστα-
σεῖ καἴ τί κ' ἄλλ' ἄτας ễι, τὸ ἀπ-
λόον· τôν δὲ πρόθθα μὲ ἐν-
δικον ἔμεν. *vac.* αἰ δέ κ' ὁ ἀντίμ-

ο̄λος ἀπομο̄λε̄͂ι ἀνπὶ τὸ κϱ-
έος ὁ̄͂ι κ’ ἀνπιμο̄λίο̄ντι μ-
ὲ̄ ἔ̄με̄ν τᾶς ματ[ϱ]ὸς ἓ̄ τᾶ-
ς γυναικός, μο̄λὲν ὅπε̄ κ’ ἐπ-
ιβάλλε̄ι, πὰϱ το̄͂ι δικαστᾶι
ἑ̄͂ ϝεκάστο̄ ἔγϱατται. *vac*. αἰ δέ κ’ ἀ-
ποθάνε̄ι μάτε̄ϱ τέκνα καταλιπό-
νσα, τὸν πατέϱα καϱτεϱὸν ἔ̄με̄ν
το̄͂ν ματϱο̄ίο̄ν, ἀποδόθαι δὲ μὲ̄
με̄δὲ καταθέμε̄ν, αἴ κα μὲ̄ τὰ τέκ-
να ἐπαινέ̄σει δϱομέες ἰόντες.
[α]ἰ δέ τις ἀλλᾶι πϱίαιτο ἓ̄ κατα-
θεῖτο, τὰ μὲν κϱέ̄ματα ἐπὶ τοῖ-
ς τέκνοις ἔ̄με̄ν, το̄͂ι δὲ πϱιαμ-
ένο̄ι ἓ̄ καταθεμένο̄ι τὸν ἀποδ-
όμενον ἓ̄ τὸν καταθέντα τὰν
διπλείαν καταστᾶσαι τᾶς τ-
ιμᾶς, καἴ τί κ’ ἄλλ’ ἄτας ἑ̄͂ι, τὸ ἀ-
πλόον. αἰ δέ κ’ ἄλλαν ὀπυίε̄ι, τὰ τ-
έκνα̣ [το̄͂]ν [μ]α̣τϱο̄ίο̄ν καϱτεϱὸν-
<ς> ἔ̄με̄ν.

**Repayment to a Ransomer**

Col. VI.

46 *vac*. αἰ κ’ ἐδδυσ̣[άμενον] πέ-
ϱα̣[νδε] ἐκς ἀλλοπολίας ὐπ’ ἀν-
άνκας ἐκόμενος κελομένο̄ τι-

ς λύσεται, ἐπὶ τôι ἀλλυσαμέν-
ο̄ι ἐ̃με̄ν πρίν κ' ἀποδôι τὸ ἐπιβά-
λλον. αἰ δέ κα μὲ̄ ὀμολογίο̄ντ-
ι ἀμπὶ τὰν πλε̄θὺν ἒ̄ μὲ̄ [κ]ελομέ-
[ν]ο̄ αὐτô [λ]ύσαθθαι, τὸν δικασ-
τὰν ὀμνύντα κρίνεν πορτὶ τὰ
μο̄λιόμενα.

**The Status of Children from mixed-class Marriages**

Col. VI.

τô ἐλευθέρο̄ τὸν
δ̣ε [— — — — αἴ κ' ὀ δôλος]
ἐπὶ τὰν ἐλευθέραν ἐλθὸ̄ν ὀπυίε̄ι,
ἐλεύθερ' ἐ̃με̄ν τὰ τέκνα. αἰ δέ κ'
ἀ ἐλευθέρα ἐπὶ τὸν δôλον, δôλ' ἐ̃μ-
ε̄ν τὰ τέκνα. ⊂*palmula*⊃ αἰ δέ κ' ἐς τᾶς αὐτ-
ᾶς ματρὸς ἐλεύθερα καὶ δôλα
τέκνα γένε̄ται, ἐ̃ κ' ἀποθάνε̄ι ἀ
μάτε̄ρ, αἴ κ' ἐ̃ι κρέ̄ματα, τὸνς ἐλε-
υθέρονς ἔ̄κεν. αἰ δ' ἐλευθέροι
μὲ̄ ἐκσεῖεν, τὸνσς ἐπιβάλλον-
τανς ἀναιλε̂θαι.

**Liability for Wrongs committed by a Slave**

Col. VII.

*vac.* α[ἴ] κ' ἐκς ἀγ-

ορᾶς πρ[ι]ά̣μενος δõλον μὲ π-
εραιόσει τᾶν ϝεκσέκοντ' ἀμ-
ερᾶν, αἴ τινά κα πρόθ' ἀδικέ-
κει ἒ ὕστερον, τõι πεπαμέν-
οι ἔνδικον ἔμεν.

## The Marriage of an Heiress

Col. VII.

*vac*. τὰμ πα-
[τ]ρōι[õ]κο̣ν ὀπυίεθαι ἀδελπι-
õι τõ πατρὸς τõν ἰόντōν τõι
πρειγ[ί]στōι. αἰ δέ κα πλίες πατ-
ρōιõκοι ἴōντι κἀδελπι[ο]ὶ τõ πα-
τρός, [τ]õι ἐπιπρειγίστōι ὀπυί-
εθαι. αἰ δέ κα μὲ ἴōντι ἀδ̣ελπιο-
ὶ τõ π[α]τρός, υἰέεδ δὲ ἐκς ἀδελ-
πιõν, ὀπυίεθαι ἰõι τõι [ἐ]ς τõ π-
ρειγίστō. αἰ δέ κα πλίες ἴōντ-
ι πατρōιõκοι κυἰέες ἐκς ἀδε-
λπιõν, ἄλλōι ὀπυίεθαι τõι ἐπ-
ὶ τõι ἐς [τ]õ πρειγ̣[ί]στō. μίαν δ'
ἔκεν πατρōι[õ]κον τὸν ἐπιβάλ-
λοντα, πλίαδ δὲ [μ]έ. ἆδ δέ κ' ἄν-
ōρος ἒι ὀ ἐπιβ̣άλλōν ὀπυίεν ἒ
ἀ πατρōιõκος, [σ]τέγαν μέν, αἴ
κ' ἒι, ἔκεν τὰν πατρōιõκον, τᾶδ
δ' ἐπικαρπίας παντὸς τὰν ἔμ-

ἰναν ἀπολανκάνεν τὸν ἐπιβ-
άλλοντα ὀπυίεν. *vac.* αἰ δέ κ’ ἀπό-
δρομος ἰο̄̀ν ὀ ἐπιβάλλο̄ν ὀπυ-
ίεν ἐβίο̄ν ἐβίονσαν μὲ̄ λε̄̂ι ὀπ-
υίεν, ἐπὶ τα̂ι πατρο̄ιο̄́κο̄ι ἔ̄με̄-
ν τὰ κρε̄́ματα πάντα καὶ τὸν κ-
αρπόν, πρείν κ’ ὀπυίε̄ι. αἰ δέ κα
δρομεὺς ἰο̄̀ν ὀ ἐπιβάλλο̄ν ἐ̄-
βίονσαν λείονσαν ὀπυίε-
θαι μὲ̄ λε̄̂ι ὀπυίεν, μο̄λε̄̀ν τὸς
καδεστὰνς τὸς τα̂ς πατρο̄ι-
ο̄́κο̄, ὀ δὲ δικασ̣τὰ̣[ς] δικ[α]κ̣σ̣[ά]-
το̄ ὀπυίεν ἐν τοῖς δ[υ]οῖς με̄-
νσί. αἰ δέ κα μὲ̄ ὀπυίε̄ι α̂ι ἔγρα-
ται, τὰ κρε̄́ματα πάντ’ ἔκονσα-
ν, αἴ κ’ ε̄̂ι ἄλλος, το̂ι ἐπιβάλλοντ-
ι· *vac.* αἰ δ’ ἐπιβάλλο̄ν μὲ̄ εἴε̄, τα̂ς
πυλα̂ς το̄̂ν αἰτιόντο̄ν ὄτιμ-
ί κα λε̄̂ι ὀπυίεθ̣αι. *vac.* αἰ δέ κα το̂-
ι ἐπιβάλλοντι ἐβίονσα μὲ̄ λε̄̂-
ι ὀπυίεθαι ε̄̓ ἄνο̄ρος ε̄̂ι ὀ ἐπιβ-
άλ[λ]ο̄ν [κα]ὶ μ[ὲ̄ λε̄̂ι μέν]εν
VIII. ἀ πατρο̄ιο̂κος, στέγαμ μέν,
αἴ κ’ ε̄̂ι ἐν πόλι, τὰμ πατρο̄ιο̂κο-
ν ἔκεν κἄτι κ’ ἐνε̄̂ι ἐν τα̂ι στέγ-
αι, το̂ν δ’ ἄλλο̄ν τὰν ἐ̄μί<ν>αν δ-
ιαλακόνσαν ἄλλο̄ι ὀπυίεθ-

αι τᾶς πυλᾶς τô̑ν αἰτιόντōν
ὄτιμί κα λε̑ι. *vac*. ἀποδατε̑θαι δ-
ὲ τô̑ν κρε̄μάτōν ἰô̑ι. αἰ δὲ με̄̀
εἶεν ἐπιβάλλοντες τᾶι {παι}π-
ατρōιόκōι ἆ[ι ἔ]γρατται, τὰ κρ-
έ̄ματα πάντ' ἔκ[ον]σαν τᾶς πυ-
λᾶς ὀπυίεθ[α]ι ὄτιμί κα λε̑ι.
αἰ δὲ τᾶς πυλ[ᾶ]ς μέ̄τι<ς> λε-
ίοι ọ[π]υίεν, τὸς καδεστὰνς
τὸς τᾶς πατρōιό́κō ϝεịπ̣αι κ-
ατὰ [τὰν πυλ]ὰν ὄτι οὐ λ̣[ε̑ι ὀ]πυ-
ίεν τις; καὶ μὲν τίς κ̣' [ὀ]πυίε̄ι ἐ-
ν ταῖς τριάκοντα ἒ̑ κα ϝείπον-
τι· αἰ δὲ μ<έ̄>, ἄλλōι ὀπυίεθαι ὄτι-
μί κα νύναται. *vac*. αἰ δέ κα πατρὸ-
ς δόντος ἒ̄ ἀδελπιô̑ πατρōιό-
κος γένε̄ται, αἰ λείοντος ὀπ-
υίεν ô̑ι ἔδōκαν με̄̀ λείοι ὀπυ-
ίεθαι, αἴ κ' ἐστετέκνōται, δια-
λακόνσαν τô̑ν κρε̄μάτōν ἆι ἔ-
γρατται [ἄλλ]ōι ὀπυιέθ[ō τᾶ]ς π̣-
υλᾶ[ς]. *vac*. αἰ δὲ τέκνα με̄̀ εἴε̄, πάντ'
ἔκονσαν τô̑ι ἐπιβάλλοντι ὀπυ-
ίεθαι, αἴ κ' ε̑ι, αἰ δὲ μέ̄, ἆι ἔγραττ-
αι. ἀνε̄̀ρ αἰ ἀποθάνοι πατρōι-
ό́κōι τέκνα καταλιπό̄ν, αἴ κα λε̑ι,
ὀπυιέθō τᾶς πυλᾶς ὄτιμί κα ν-

ὔναται, ἀνάνκαι δὲ μέ̄. αἰ δὲ τέ-
κνα μὲ̄ καταλίποι ὀ ἀποθανṓν,
ὀπυίεθαι τô̄ι ἐπιβάλλοντι ἇ-
ι ἔγρατται. *vac*. αἰ δ' ὀ ἐπιβάλλōν τ-
ὰν πατρōιôκον ὀπυίεν μὲ̄ ἐπ-
ίδαμος εἴε̄, ἀ δὲ πατρōιôκος
ὀ̄ρίμα εἴε̄, τô̄ι ἐπιβάλλοντι ὀ-
πυίεθαι ἆι ἔγρατται. πατρōιô-
κον δ' ἔ̄με̄ν, αἴ κα πατὲ̄ρ μὲ̄ ἐ̂ι ἐ̄̀ ἀ-
δελπιὸς ἐς τô̄ αὐ[τô̄] πατρός. τô̄ν
δὲ κρε̄μάτō[ν κα]ρτερὸνς ἔ̄με̄ν τ-
ᾶς ϝεργασία[ς τὸς] πάτρōανς,
[τ]ậ[δ] <δ'> ẹ̣π̣ι̣[καρ]πίας διαλ[αν]κ̣[ά]ν̣-
εν τὰν ἐ̄μίναν, ᾶς κ' ἄ[ν]ōρ̣[ο]ς ἐ̂ι.
*vac*. αἰ δ' ἀν[ό]ρōι ἰάτται μὲ̄ εἴε̄ ἐπ-
ιβάλλōν, τὰν πατρōιộκον καρ-
τερὰν ἔ̄με̄ν τô̄ν τε κρε̄μάτōν κ-
αὶ τô̄ καρπô̄, κᾶς κ' ἄν[ō]ρος ἐ̂ι τ-
ράπεθαι [π]ạ̀ρ τᾶι ματρί· αἰ δὲ μ-
άτε̄ρ μὲ̄ εἴε̄, πὰρ τοῖς [μ]άτρōσι
τράπεθα[ι. *vac*.] αἰ δέ τις ὀπυίοι τὰ-
ν πατρōιôκον, ἀλλᾶι δ' [ἔγ]ρατται,
πεṿθεν̣ [πορ]τ̣ὶ̣ κ̣ọ́σ̣μ̣ọν̣
IX. 1 τὸνς ἐπιβά̣[λλοντανς.]

**Management of an Heiress’ Property**

Col. IX.

[*vac.*] αἴ κ’ ὀ-
πε̄́λο̄[ν ἄργυρον πα]τρο̄ιο̄͂κον κα-
ταλίπε̄ι, ε̄̓ αὐ[τὰν ε̄̓ διὰ τὸν]ς π-
άτρο̄αν[ς καὶ τὸ]νς μάτρο̄αν-
ς καταθε̄́με̄ν ε̣̄̓ [ἀποδ]όθαι το̄͂ ὀπ-
λε̄́ματος [καὶ δ]ικαίαν ε̄̓́με̄ν τ-
ὰν ο̄̓νὰν καὶ τὰν κ[ατάθε]σιν. αἰ
δ’ ἀλλᾶ[ι πρί]αιτό τις κρε̄́ματα ε̄̓
καταθεῖτο το̄͂ν τᾶς πα[τρ]ο̣ιο̄́κο̄, τ-
ὰ μὲν [κρ]ε̣̄́ματα ἐπὶ τᾶι πατρο̄ιο̄́κ-
ο̄ι ε̄̓́με̄ν, ὀ δ’ ἀποδόμενος ε̄̓ κατ-
αθὲνς το̄͂ι πριαμένο̄ι ε̄̓ καταθε-
μένο̄ι, αἴ κα νικαθε̄͂ι, διπλεῖ κα-
ταστασεῖ καἴ τί κ’ ἄλλ’ ἄτας ε̄̓͂ι, τ-
ὸ ἀπλόον ἐπικαταστασεῖ, *vac.* ἆ-
ι τ̣ᾴ̣δε τὰ γ[ράμμ]ατ̣’ [ε̄̓́γρατται, τ]-
ο̄͂[ν δ]ὲ̣ πρόθα μ̣[ε̄̀ ε̄̓́]ν̣δικον ε̄̓́με̄ν.
*vac.* αἰ δ’ ὀ ἀντίμο̄λος ἀπομ[ο̄λ]ίο-
ι ἀ[νπ]ὶ τὸ κρέος ο̄̓͂ι κ’ ἀνπιμο̄λί-
ο̄ντι με̄̀ τᾶς πατρο̄ιο̄́κο̄ ε̄̓́[μ]ε̄ν,
ὀ δ[ικ]αστὰς ὀμνὺς κρινέτο̄· αἰ
δὲ νικάσαι με̄̀ τᾶς πατρ[ο̄ι]ο̄́κ-
ο̄ ε̄̓́μ̣ε̣̄ν, μο̄λὲν ο̄̓́πε̄ κ’ ἐπιβάλλε̄ι, ε̄̓
ϝεκάστο̄ ε̄̓́γρατται ⧗

Prepared by C. J. Haddad © Macquarie Ancient Languages School

**Suits by Creditors and Debtors of a deceased Individual**

Col. IX.

αἰ ἀν[δ]εκσ-
ἀμ̣[ε]νος ἒ νενικαμένο[ς ἒ ἐν]κ̣-
οιōτὰνς ὀπε̄́λōν̣ ἒ διαβαλόμε-
νος ἒ διαϝειπάμενος ἀποθά-
νοι ἒ τούτōι ἄλλος, ἐπιμ̣ōλ-
ἐνν̣ ἰō̂ πϱὸ τō̂ ἐνιαυτō̂· ὁ δὲ δικα-
στὰς δικαδδέτō ποϱτὶ τὰ ἀ̣ποπ-
ōνιόμενα· αἰ μέν κα νίκας ἐπι-
μōλε̄̂ι, ὁ δικαστὰς κὀ̄ μνάμōν,
αἴ κα δṓει καὶ πολιατεύε̄ι, οἱ δὲ μ-
αίτυϱες οἱ ἐπιβάλλοντες, ἀνδοκ-
ᾶδ <δ>ὲ κἐ̄νκοιōτᾶν καὶ διαβολᾶς κ-
αὶ διϱε̄́σιος μαίτυϱες οἱ ἐπιβ-
άλλοντες ἀποπōνιόντōν. ἒ δέ κ' ἀ-
ποϝείποντι, δικαδδέτō ὀμόσ-
α<ν>τα αὐτὸν καὶ τὸνς μαίτυϱ-
ανς νικε̄̂ν τὸ ἀπλόον.

**Obligations incurred by a Son**

Col. IX.

*vac.* υἱὺς α-
ἴ κ' ἀνδέκσεται, ἆς κ' ὁ πατὲ̄<δ> δṓει,
αὐτὸν ἀτε̄̂θαι καὶ τὰ κϱε̄́ματα
ἄτι κα πέπαται ⧖

## Fulfillment of foreign Commercial Contracts

Col. IX.

αἴ τίς κα πέρα-
ι συναλ[λάκ]σει, ἒ̃ ἐς πε̃ρ[α]ν ἐπι-
θέντι μὲ̄ ἀποδιδο̃ι, αἰ μέν κ’ ἀ-
ποπο̄νίο̄ντι μαίτυρες ἒ̄βίοντ-
ες το̃ ἐκατονστατέ̄ρο̄ καὶ πλίο-
νος τρέες, το̃ μείονος μέττ’ ἐ-
ς τὸ δεκαστάτε̄ρον δụ́ο, το̃ μεί-
ονος ἓ̣ν<δ>, δικαδδέτο̄ πορτ̣ὶ τὰ
ἀποπο̄[ν]ιόμενα. αἰ δὲ μαίτυρε-
[ς] μὲ̄ ἀ̣[π]οπ̣ο̄νίοιεν, ἒ̃ κ’ ἔ̄[λ]θε̄ι ὀ συ-
ναλλάκσανς, ὄτερόν κ[α] κέλε̄[τ]αι ὀ
μενπόμενος, ἒ̄ ἀπομόσαι ἒ̄ σὺν
σ[— — — — — — — — — — — — — ]

## Gifts to Women

Col. X.

[— — — — — — — — — — — — — ]τ
αν[— — — — — — — — — — — — ]
[— — — — — — — — — —] αἴ κα
λε̣̃[ι] ἐκα[τὸν στατε̃ρανς ἒ̄ ἐκ-]
[ατὸν στατέ̄ρον κ]ρέος ἒ̄ [με]ι̣̃-
[ον πλ]ίον δ̣[ὲ] μέ̄. αἰ [δὲ πλία δο-]
ίε, [δύο(?) στα]τε̃ρανς κ[αταστα-]
[σεῖ *vac.*(?)] α̣ἰ δέ κα μ̣εῖο[ν — —]

[— — — πεντέκον]τα στατ[ε̄́ρο]ν
κρέος, ạἰ δ' οἰ [— — — — — — — ]
[— — — — — — — ]με[— ἀ]ποδόν-
τανς τὸ[ν ἄργυρον — — — — — —]
[— — — — — — — — — — —] ματρὶ
δ' υἱὺṿ [ε̄̓̀ ἄνδρα γυναικὶ δόμε̄ν ἐ]-
κατὸν στατε̄͂ρα[νς] ε̣̄̓̀ μεῖον, π-
λίον δὲ με̄́. αἰ δὲ πλία δοίε̄, αἴ
κα λείο̄ντ' οἰ ἐπιβάλλοντες, τ-
ὸν ἄργυρον ἀποδόντες τὰ κρ-
ε̄́ματ' ἐκόντο̄ν. *vac.* αἰ δέ τις ὀπε̄́-
λο̄ν ἄργυρον ε̄̓̀ ἀταμένος ε̄̓̀ μ-
ο̄λιομένας δίκας δοίε̄, αἰ
με̄̀ εἴε̄ τὰ λοιπὰ ἄκσια τᾶς ἄ-
τας, με̄δὲν ἐς κρέος ε̄̓͂με̄ν τὰν
δόσιν. ⊂*ligo*⊃

**Acquisition of Slaves**

Col. X. ἄντρο̄[π]ον με̄̀ ὀνε̄͂θα-
ι κατακείμενον πρίν κ' ἀλλύσ-
εται ὀ καταθένς, με̄δ' ἀμπίμο̄-
λον, με̄δὲ δέκσαθαι με̄δ' ἐπισ-
πένσαθαι με̄δὲ καταθέθαι. αἰ
δέ τις τούτο̄ν τι ϝέρκσαι, με̄δ-
ὲν ἐς κρέος ε̄̓͂με̄ν, αἰ ἀποπο̄νίο-
ιεν δύο μαίτυρε<ς>. *vac.*

***Addenda***

**Adoption**

Col. X.

ἄνπανσιν ἔ̄με̄ν ὄπο̄ κά τιλ λ-
ε̄̃ι. ἀμπαίνεθαι δὲ κατ’ ἀγορὰν
καταϝελμένο̄ν το̄̃μ πολιατᾶ-
ν ἀπὸ το̄̃ λάο̄ ὂ̄ ἀπαγορεύοντι.
*vac.* ὁ δ’ ἀμπανάμενος δότο̄ τᾶ-
ι ἐταιρε̄ίαι τᾶι ϝᾶι αὐτο̄̃ ἰαρέ̄-
ιον καὶ πρόκοον ϝοίνο̄. *vac.* καὶ
μέν κ’ ἀνέλε̄ται πάντα τὰ κρέ̄-
ματα καὶ μὲ̄ συννε̄̃ι γνέ̄σια τ-
έκνα, τέλλεμ μὲν τὰ θῖνα καὶ
τὰ ἀντρό̄πινα τὰ το̄̃ ἀνπαναμέ-
νο̄ κἀναιλε̄̃θαι ἆιπερ τοῖς γ-
νε̄σίοις ἔγρατται. αἰ̣ [δ]ἐ̣ κα μ̣ὲ̄
λε̄̃ι τέλλεν ἆι ἔγρατται, τὰ κ[ρ]έ̄-
ματα τὸνς ἐπιβάλλοντανς ἔκε-
ν. αἰ δέ κ’ ἐ̄̃ι γνέ̄σ[ι]α τέκνα το̄̃ι ἀν-
παναμένο̄ι, πεδὰ μὲν το̄̃ν ἐρσ-
ένο̄ν τὸν ἀμπαντόν, ἆιπερ αἰ θ-
έ̄λ̣[ε]ιαι ἀπὸ το̄̃ν ἀδελπιο̄̃ν λανκά-
νοντι· αἰ δέ κ’ ἔρσενες μὲ̄ ἴο̄ν-
τι, θέ̄λειαι δέ, ϝισϝόμοιρον ἔ̄-
XI. 1 [με̄ν] τὸν ἀνπαντὸν καὶ μὲ̄ ἐ-
πάνανκον ἔ̄με̄ν τέλλεν τ[ὰ τ]-

[ō̂ ἀν]παναμένō καὶ τὰ κϱε̄́μα-
τ' ἀναιλ<ε̄̂>θαι ἅτι κα κατα[λίπε̄]-
[ι ὀ ἀ]ṿπανάμενος· πλίυι δὲ τὸṿ
ἀνπαντὸμ με̄̀ ἐπικο̄ϱέν. *vac.* [αἰ δ']
[ἀπο]θάνοι ὀ ἀνπαντὸς γṿε̄́σια
τέκνα με̄̀ καταλιπṑν, πὰϱ τὸ[νς τ]-
[ō̂ ἀν]παναμένō ἐπιβάλλονταν-
ς ἀνκο̄ϱὲν τὰ κϱε̄́ματα. αἰ δ[έ κα]
[λε̄̂ι] ὀ ἀνπανάμενος, ἀποϝειπ-
άθθō κατ' ἀγοϱὰν ἀπὸ τō̂ λά[ō ō̂]
[ἀπα]γοϱεύοντι καταϝελμέν-
ōν τō̂ν πολιατᾶν· ἀνθέμε̣̄[ν δὲ]
[δέκ]α̣ [σ]τατε̄̂ϱανς ἐδ δικαστ-
ε̄́ϱιον, ὀ δὲ μνάμōṿ ὀ τō̂ κσε̄ν-
ίō ἀποδότō τō̂ι ἀποϱϱε̄θέντι.
γυνὰ δὲ με̄̀ ἀμπαινέθθō με̄δ'
ἄνε̄βος. *vac.* κϱε̄́θαι δὲ τοῖδδε ἆ-
ι τάδε τὰ γϱάμματ' ἔγϱαπσε,
τō̂ν δὲ πϱόθθα ὄπαι τις ἔκει ε̄̂ ἀ-
μπαντύι ε̄̂ πὰϱ ἀμπαντō̂ με̄̀ ἔτ' ἔ-
νδικον ε̄̓́με̄ν. *vac.*

**Amendment to Seizures before Trial (Coll. 1.1–2.2).**

Col. IX.

ἄντϱōπον ὄς κ' ἄγε̄ι πϱὸ δίκας
αἰεὶ ἐπιδέκεθαι. *vac.*

## On Judicial Decisions

Col. IX.

τὸν δικαστάν, ὅτι μὲν κατὰ
μαίτυρανς ἔγρατται δικάδδ-
εν ἒ ἀπὃμοτον, δικάδδεν ἆι ἔ-
γρατται, τῶν δ' ἀλλῶν ὀμνύντ-
α κρίνεν πορτὶ τὰ μōλιόμεν-
α.

## Supplement to Suits by Creditors and Debtors of a deceased Individual (Col. 9.24–40)

Col. IX.

*vac*. αἴ κ' ἀποθάνε̄ι ἄργυρον
ὀπε̄́λο̄ν ἒ νενικαμένος, αἰ μέ-
ν κα λείο̄ντι οἷς κ' ἐπιβάλλε̄ι
ἀναιλε̄̃θαι τὰ κρε̄́ματα τὰν ἄ-
ταν ὑπερκατιστάμεν καὶ τὸ
ἀργύριον οἷς κ' ὀπε̄́λε̄ι, ἐκόντ-
ο̄ν τὰ κρε̄́ματα· αἰ δέ κα μὲ̄ λεί-
ο̄ντι, τὰ μὲν κρε̄́ματα ἐπὶ τοῖ-
ς νικάσανσι ἔ̄με̄ν ἒ οἷς κ' ὀ-
πε̄́λε̄ι τὸ ἀρ<γ>ύριον, ἄλλαν δὲ
με̄δεμίαν ἄταν ἔ̄με̄ν τοῖ-
ς ἐπιβάλλονσι. ἀṭε̄́θαι δὲ ὑ-
πὲρ μ[ὲ]ν τō̃ [πα]τρὸς τὰ πατρō̃-
ια, ὑπὲ<δ> δὲ τᾶς ματρὸς τὰ μα-
τρō̃ια. *vac*.

**Amendment to Divorce (Col. 2.45–3.16)**

Col. IX.

γυνὰ ἀνδρὸς ἄ κα κρίνεται, ὀ δικαστὰς ὄρκον αἴ κα δικάκσει, ἐν ταῖς ϝίκατι ἀμέραις ἀπομοσάτō παριόντος τō̂ δικαστᾶ ὄ̄τι κ’ ἐπικαλε̂ι. προϝειπάτō δὲ ὀ ἄρκōν τᾶ<δ> δίκας τᾶι γυναικὶ καὶ τō̂ι δικα<σ>τᾶι καὶ [τ]ō̂ι μ̣ν̣ά̣μονι προτέταρτον ἀντὶ μα̣ί̣τ̣υ̣ρ̣ο̣ς π̣ε̣ν̣τ̣εκαιδεκαδρόμō ἒ̄ πρείγονος. *vac.*

**Amendment to Gifts to Women**

Col. XII.

ματρὶ υἰὺ[[ι]]ς ἒ̄ ἀ[ν]ẹ̄ρ γυναικὶ κρε̄́ματα αἰ ἔδōκε, ἆι ἔγρατто πρὸ τō̂νδε τō̂ν γραμμάτōν, μὲ ἔνδικον ἔ̄μēν· τὸ δ’ ὔστερον διδόμēν ἆι ἔγρατται. *vac.*

**Amendment to the Rules for Heiresses**

Col. XII.

ταῖς πατρōιόκοις αἴ κα μὲ ἴōντι ὀρπανοδικασταί, ἆς κ’ ἀν ὄροι ἴōντι, κρε̄́θαι κατὰ

τὰ ἐγραμμένα. *vac*. ὄπε̄ δέ κ’ ἀ
πατρ[ōι]ō̂κος μὲ̄ ἰόντος ἐπι-
βάλλοντος με̄δ’ ὀρπανοδικ-
αστᾶν πὰρ τᾶι ματρὶ τράπε̄-
ται, τὸν πάτρōα καὶ τὸμ μάτ-
ρōα τὸνς ἐγραμμένονς τ-
ὰ κρέ̄ματα καὶ τὰν ἐπικαρπί-
αν ἀρτύεν ὄπαι κα ν<ύν>ανται κά-
λλιστα, πρίν κ’ ὀπυίε̄ται. ὀπυί-
εθαι δὲ δυοδεκαϝετία ἒ̄ πρεί-
γονα. *vac*.